Τήν τε νῦν ἀτιμίαν ἔσω τοῖς ἐπισπασαμένοις μεθ᾽ ἃ· τῆς
μακαρίας τρυφῆς· τὸ ὀλεθρίου περιτιμήσαντες:
Ἠ τὴν σὴν τιμίαν ἀθεΐαν ἐνέγκαι τοῖς ἀπελαβόμενοις· ζωῆς
αἰδίου θανάτου ἀνταλλαξάμενοι: Νῦν οὖν δέσποτα
καθὼς ἐνέβλεψας καὶ εἰς τέλος ἐπίβλεψον·
καθὼς ἐνηνθρώπησας καὶ σῶσον ἅπαντας ἡμᾶς:
Σῶσον τὸ ἐρημωθὲν πλῆθος τοῦ ἀπολωλότας ἡμᾶς:
Ἀνάστησον ψυχὰς καὶ σῶσον τὰ σώματα· καθά-
ρισον ἅπαντας ἡμᾶς ἀπὸ πάντων τῶν μολυσμῶν:
Ῥῆξον τὰ δεσμὰ τῶν κατεχόντων ἡμᾶς παθῶν·
ὀρύξας τὰς φάλαγγας τῶν ἀκαθάρτων δαιμόνων·
καὶ ἀπάλλαξον ἡμᾶς τῆς ἐξουσίας τῆς τυραννί-
δος· ἵνα σοὶ μόνῳ λατρεύσωμεν τῷ αἰωνίῳ
φωτί: Καὶ μὴ χωρίσῃς ἡμᾶς τῆς τῶν σωζο-
μένων μερίδος: Ἀναστάντες ἐκ νεκρῶν· καὶ
σὺν ἀγγέλοις χορεύοντες· τὴν μακαρίαν
καὶ αἰωνίαν καὶ ἀκατάλυτον χαράν, ἀμήν:
Τοῦ αὐτοῦ περὶ τῶν αὐτῶν· ἕκαστον τὰς δ´· κατὰ
προστιχὶς δέ: Ὅμως οὖν καὶ ἐν τοῖς κυρίως
κακῶν· καὶ τῶν μὴ κυρίως νομιζομένων δὲ·